eul_wid: jfq-ab

*Ἀπολλώνιος ὁ Ῥόδιος* · Apollonius of Rhodes

# Fragments on the Argonautic Voyage

*Ἀποσπάσματα περὶ τῆς Ἀργοναυτικῆς Πλόης*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Ἐπική* Epic (Homeric)
**Domain:** *Ἔπος* Epic
**Format:** *Ἔμμετρος* Verse

unit_1 fr. 1–2, 5, 7–10, 12–13

book 1.1 Κορινθιουργές ἐστι κιόνων
book 1.2 σχῆμα
book 2.1 Τέρψει δὲ νηῶν ὁ γλυκύς
book 2.2 σε χωρίτης
book 2.3 πλόος κομίζων δῶρα
book 2.4 πλουσίου Νείλου.
book 5.1 Οὐδ’ ἵπποι ὀρθρινὰ κατὰ κλισίας
book 5.2 χρεμέθεσκον, ἀλλὰ βόες
book 5.3 πλείῃσι
book 5.4 παρηυνάζοντο κάπῃσι, νηυσὶ δὲ πρηκτὰ κέλευθα
book 5.5 Χελιδονίης ἀπὸ πέτρης
book 5.6 Πληγάδας ἀξείνους καὶ ὅπου
book 5.7 Φινήϊα δόρπα[ln_5]Ἅρπυιαι ἄτλητον ἐπὶ ψώαν
book 5.8 πνείεσκον.
book 7.1 Τῷ ῥά ποτ’ Ὠκυρόην νύμφην, περικαλλέα κούρην, Χησιὰς εὐπατέρεια τέκεν
book 7.2 φιλότητι μιγεῖσα, Ὠκυρόην, ᾗ κάλλος ἀπείριτον ὤπασαν Ὧραι.
book 8.1 Πατρὸς ἐμεῖο φίλου
book 8.2 συμφράδμονα θυμὸν ἀέξων, Πομπίλε, δυσκελάδου δεδαὼς θοὰ βένθεα πόντου, σῷζέ με.
book 9.1 Πομπίλον ὠκυάλων νηῶν
book 9.2 παιήονα δούρων
book 10.1 Ὅσσα
book 10.2 τε γαίης ἔργα
book 10.3 τε Δωτιάδος
book 10.4 πρότεροι κάμον Αἱμονιῆες

book 12.1 Ἔνθα δὲ Πηλεΐδης κατὰ μὲν κτάνε Λάμπετον Ἴρου, κὰδ δ᾽ Ἱκετάονα πέφνεν ἰθαιγενέος Λεπετύμνου υἱέα Μηθύμνης

book 12.2 τε, καὶ ἀλκηέστατον ἄλλων αὐτοκασίγνητον Ἑλικάονος ἔνδοθι πάτρης τηλίκον Ὑψίπυλον· θαλερὴ δέ μιν ἄασε Κύπρις. Ἡ γὰρ ἐπ᾽ Αἰακίδη κούρης

book 12.3 φρένας ἐπτοίησεν

book 12.4 Πεισιδίκης, ὅτε τόν γε μετὰ προμάχοισιν Ἀχαιῶν χάρμῃ ἀγαλλόμενον θηέσκετο, πολλὰ δ᾽ ἐς ὑγρὴν ἠέρα

book 12.5 χεῖρας ἔτεινεν ἐελδομένη

book 12.6 φιλότητος.

book 12.1 Δέκτο μὲν αὐτίκα λαὸν Ἀχαιϊκὸν ἔνδοθι πάτρης

book 12.2 παρθενική, κληῖδας ὑποχλίσσασα

book 12.3 πυλάων, ἔτλη δ᾽ οἷσιν ἰδέσθαι ἐν ὀφθαλμοῖσι

book 12.4 τοκῆας

book 12.5 χαλκῷ ἐληλαμένους, καὶ δούλια δεσμὰ γυναικῶν ἑλκομένων ἐπὶ νῆας ὑποσχεσίῃς Ἀχιλῆος, ὄφρα νυὸς γλαυκῆς Θέτιδος πέλοι, ὄφρα οἱ εἶεν

book 12.6 πενθεροὶ Αἰακίδαι, Φθίῃ δ᾽ ἔνι δώματα ναίοι ἀνδρὸς ἀριστῆος

book 12.7 πινυτὴ δάμαρ (οὐδ᾽ ὅ γ᾽ ἔμελλεν τὰ ῥέξειν), ὀλοῷ δ᾽ ἐπαγάσσατο

book 12.8 πατρίδος οἴτῳ· ἔνθ᾽ ἥ γ᾽ αἰνότατον γάμον εἴσιδε

book 12.9 Πηλείδαο Ἀργείων ὑπὸ χερσὶ δυσάμμορος, οἵ μιν ἔπεφνον

book 12.10 πανσυδίῃ θαμινῇσιν ἀράσσοντες λιθάδεσσιν.

book 13 Καλλίμαχος τὸ κάθαρμα, τὸ παίγνιον, ὁ ξύλινος νοῦς· αἴτιος ὁ γράψας Αἴτια Καλλίμαχος.